XIV. Ὅσοι δὲ νήπιοι αὐ- 1
τῶν, ἢ διὰ κακότητα οὐκ
ἄξιοι ἐκτῆσθαι, τούτους ἐῶ-
σιν ἀπαλλάττεσθαι ἐς τὰ
σφέτερα ἤθεα. Ἄγοντες δὲ 2
εἰς τὰς κώμας τοὺς ἁλόντας,
τοῦ τε χλωροῦ καλάμου καὶ
τῆς πόας τὰ πρῶτα ἐμφαγεῖν
ἔδοσαν· οἱ δὲ ὑπὸ ἀθυμίης, 3
οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι,
τοὺς δὲ περιϊςάμενοι οἱ Ἰνδοὶ,
ᾠδαῖσί τε καὶ τυμπάνοισι καὶ
κυμβάλοισιν ἐν κύκλῳ κρούον-
τές τε καὶ ἐπᾴδοντες, κατευ-
νάζουσι. Θυμόσοφον γὰρ, εἴ- 4
πέρ τι ἄλλο θηρίον, ὁ ἐλέ-
φας· καί τινες ἤδη αὐτῶν τοὺς
ἀμβάτας σφῶν ἐν πολέμῳ
ἀποθανόντας ἄραντες αὐτοὶ
ἐξήνεγκαν ἐς ταφήν· οἱ δὲ καὶ
ὑπερήσπισαν κειμένους· οἱ δὲ
καὶ πεσόντων προεκινδύνευ-
σαν· ὁ δέ τις πρὸς ὀργὴν ἀπο-
κτείνας τὸν ἀμβάτην, ὑπὸ
μετανοίης τε καὶ ἀθυμίης ἀπέ-
θανεν. Εἶδον δὲ ἔγωγε καὶ 5
κυμβαλίζοντα ἤδη ἐλέφαντα,
καὶ ἄλλους ὀρχεομένους, κυμ-
βάλοιν τῷ κυμβαλίζοντι πρὸς
τοῖν σκελοῖν τοῖν ἔμπροσθεν
προσηρτημένοιν, καὶ πρὸς τῇ

XIV. Qui vero eorum immaturae aetatis, aut propter malam corporis constitutionem digni non sunt, qui possideantur, eos abire in loca ipsis consueta permittunt. Caeteros captos in pagos ducunt, ac primum eos gramine et viridibus culmis pascunt. Illi vero prae moerore prorsus vesci nolunt. Indi autem circumstantes tympanorum ac cymbalorum pulsu cantuque eos exhilarant ac demulcent. Intelligens enim, si quae alia fera, est elephas. Et quidem nonnulli rectores suos in bello caesos, sublatos ad sepulturam detulerunt: alii jacentes propugnarunt: alii pro sessoribus lapsis neci sese objecerunt; quidam quum per iram rectorem suum occidisset, poenitentia et moerore se confecit. Vidi ego aliquando elephantum cymbalum pulsantem, aliis saltantibus, duobus cymbalis ad anteriora crura appensis,

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/ppn325550026/99
gefördert von der Deutschen Forschungsgemeinschaft